κρεῖττον. οἱ δὲ σχολαστικοὶ εἶπον, οὐδὲν κρεῖττον γλώττης, σὺ
ἡμάρτες, καθηγητά. ὕβριν δὲ τοῦτο λογισάμενοι ἀνέστησαν
τοῦ ἀρίστου, ὁλονυχτὶ δυσφορήσαντες. τῇ δὲ ἑξῆς ἡμέρᾳ
μεμφθεὶς ὑπὸ τῶν φιλοσόφων ὁ ξάνθος ἔφη, οὐ γέγονε
κατὰ τὴν ἐμὴν θέλησιν, ἀλλὰ κατὰ τὴν τοῦ ἀχρείου δού-
λου. σήμερον ἀνταλλάξαμαι εἰς δεῖπνον, ἐνωπίων δὲ ὑ-
μῶν διαλεχθήσομαι αὐτῷ, καὶ φησί, αἴσωπε, ἐπεὶ
δοκεῖ σοι τὰ ἄχρηστα καλὸν, κἀγώ σοι τὰ ἐναντία δι-
ατάξομαι. ἀπελθὼν ἀγόρασον ὅτι σαπρὸν, ὅτι χεῖρον,
ἐπεὶ πρὸς δεῖπνον καλῶ τοὺς σχολαστικούς. αἴσωπος
δὲ μηδὲν ταραχθεὶς, ἀπῆλθεν εἰς τὸ μάκελλον, καὶ
πάλιν γλώσσας ἀγοράσας, ἐποίησεν ὡσαύτως. ἐλ-
θόντες οὖν οἱ σχολαστικοὶ κατεκλίθησαν, μετὰ δὲ τὸ
πιεῖν ἑκάστῳ γλῶτταν ἐξ ὕδατος ἔθηκε καὶ ὄξους. οἱ
δὲ πρὸς ἑαυτοὺς ἔλεγον, χοίρεται πάλιν γλῶσσαι, πάν-
τως